Ἐκκλησιαστικὸς Φάρος 5 (1910) 339-352

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΛΟΓΙΩΤΑΤΟΥ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΚΥΡΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΚΥΠΡΙΟΥ

ΕΠΙΣΤΟΛΑΙ*

ροδ') *Τῷ αὐτῷ*

Εἶπέ τις, μᾶλλον δὲ κατεῖπεν ἐπὶ τῆς σῆς τελειότητος ὡς εἴη ὁ πρόεδρος Αἴνου τὰ καὶ τὰ ποιῶν, πράγματα δηλονότι ἥκιστα τῇ ἀρχιερωσύνῃ προσήκοντα, ἐχρῆν ἐκεῖνον εἴπερ εἶχεν ἑαυτῷ τε καὶ ἀληθείᾳ θαρρεῖν ἐναντίον οὗπερ κατηγόρησε στῆναι, ἐλέγξαι τε ᾗ θέμις ἐστὶ καὶ κατὰ πρόσωπον αὐτοῦ τὰς ἀνομίας αὐτοῦ παραστῆσαι· ὁ δ' οὐχ οὕτω πράξας ἔχει· μόνον δ' ἐν σκοτομήνῃ τοξεύσας οἴχεται καὶ δῆλος γέγονεν ὅτι κατεψεύσατο μᾶλλον ἢ κατηγόρηκε νῶτα δεδωκὼς πρὶν ὅλως τὸ πρόσωπον ἀνασχέσθαι δεῖξαι καὶ συμμίξας τῷ ἀνταγωνιστῇ. Ἐκεῖνος μὲν οὖν οὕτως· ἐγὼ δ' εἰ καὶ τἆλλα νωθρὸν ἔχω τὸν νοῦν καὶ τοῖς πράγμασιν οὐκ ὀξέως προσβάλλοντα, ἀλλ' ἔν γε τούτοις οὐκ οἶδ' ὅπως ταχύτητος γέγονα καὶ τὸν ἄνδρα τὸν συκοφάντην καὶ σφόδρα λανθάνειν βουλόμενον, ὅστις εἴη πεφώρακα, ᾧ καὶ ἐγκαλεῖν εἶχε μὲν ὁ κατηγορηθεὶς ὑπ' αὐτοῦ, εἶχον δ' ἑτέρωθεν καὶ αὐτὸς ἐγώ· ἐκεῖνος μὲν οἷς ὑπ' αὐτοῦ ὕβρισται καὶ τὰ δεινότατα πέπονθεν, ἀφαίρεσιν πρὸς τοῖς ἄλλοις καὶ χρυσίνων ἑξήκοντα ὑποστάς, ἐγὼ δ' ὅτι τρὶς καὶ τετράκις καλέσας ἐλθεῖν ὡς ἡμᾶς, καὶ καθ' οὓς ταῦτα δέδρακε λόγους διδάξαι, πείθειν ἐλθεῖν καὶ διδάσκειν οὐκ ἴσχυσα· ἀλλ' αὐτὸς τῶν ἑκατέρωθεν ἐγκλημάτων

* Συνέχεια ἐκ Τόμ. Ε', σελ. 226

αἰσθόμενος, ἅμα δὲ συνιδὼν μὴ εἰς καλὸν αὐτῷ ἔσεσθαι, ἐὰν ἡμεῖς αὐτοῦ κατείποιμεν πρότερον, φθάνει δήπως ἡμᾶς καὶ πλάττεται καὶ σοφίζεται, καὶ ἀντὶ κατηγορουμένου κατήγορος γίνεται· καὶ φάσκει τὸν ἀρχιερέα—ἀναιδέστατα δὲ φάσκει καὶ κατὰ τὸν εἰωθότα φορολόγοις τε καὶ δασμολόγοις τρόπον—ἁρπάζειν τε καὶ εἰς ἑαυτὸν βιάζειν τὰ τῷ δημοσίῳ προσήκοντα. Πόθεν, ὦ τάν, φαίην ἂν ἐγὼ πρὸς αὐτόν, πόθεν ταύτην τὴν ἰσχὺν εἰληφότα καὶ τὴν ἐξουσίαν ἢ τοσοῦτον δυνάμενον, ποτ' ἂν σὺ τοὺς τοσούτους αὐτὸν ἀφείλου χρυσοῦς, ἀφελόμενος δὲ τίνα παρασχεῖν ἔχεις τῆς ἀφαιρέσεως λόγον; ἢ μόνον γ' ἐκεῖνον ὃν καὶ πανταχοῦ περιφέρων θρυλλεῖς, γυνή τις, λέγων, μοιχαλὶς καὶ τοῦ νομίμου λέχους ἐπίβουλος πόρρω τῆς οἰκίας νύκτωρ γενομένη, καὶ τὸν οὐκ οἶδ' εἴτ' ἐρώμενον χρὴ φάναι εἴτ' ἐραστὴν ἐκζητοῦσα, αἰσθήσεως γενομένης καὶ ἐπελθόντος τοῦ συνεύνου ἀπὸ τῶν τοῦ νεὼ μετεώρων ὅπου καὶ τῷ μοιχῷ συνῄει, ἐπὶ κεφαλὴν ἀφῆκεν ἑαυτὴν ἐπὶ τοὔδαφος· τοῦ δὴ τοιούτου πτώματος τὴν αἰτίαν πάντα μᾶλλον πᾶς τις ἐσχηκέναι φαίει ἢ τὸν τοῦ νεὼ προϊστάμενον· εἶτ' ἐπὶ τὸν οὕτω πόρρω πάσης εὐθύνης ἱστάμενον, σὺ γ' ὡς ἐπὶ μόνον αἴτιον δραμεῖν ἐδικαίωσας καὶ λείαν τῶν αὐτόῦ ποιήσασθαι τῶν ἄλλων ἀφέμενος; ἢ πού γε πιστὸς ὁ λόγος, ὡς ὁ ταῦθ' ὑφιστάμενος παρ' αὐτοῦ δὴ τοῦ τῶν δημοσίων λωβητῆρος δουκός, καὶ ἔτι εἰς κρίσιν ἀγόμενος καὶ περιυβριζόμενος καί τισιν ἀγνώμοσι τῶν ὑπ' αὐτὸν κληρικῶν εἰς γέλωτα διὰ ταῦτα ἐκκείμενος, καὶ τοσοῦτον ὥστ' αὐτοὺς καὶ ἀναισχυντεῖν τολμᾶν αὐτῷ, ὡς οὐδενί γε τοῦ λοιποῦ ἐσομένῳ, καὶ ἐπανίστασθαι καὶ ἐπ' αὐτὸν δὴ συνίστασθαι, οἷός τε γέγονε τὰ τοῦ δημοσίου τυραννεῖν καὶ μεθέλκειν εἰς ἑαυτόν· οὐ παύσονται, ὦ θεῖε ἄνερ, οἱ συκοφάνται ὀψέποτε τοῦ τολμήματος; οὐ γνώσονται ὅτι γινώσκονται, ἀλλὰ πάντων καὶ μικρῶν καὶ μειζόνων κατορχήσονται καὶ δόξουσι πάσης γνώσεως τῇ ψευδολογίᾳ κρατεῖν; Τί μοι ὁ κατήγορος προσῆλθεν ἐμοὶ εἰς ἐρώτησιν καλοῦντι; ἀλλ' ἐῶ μὲν ἐμέ, ἐπὶ σοῦ δὲ τί μὴ διαλεχθῆναι γοῦν τῷ ταλαιπώρῳ ἐτόλμησεν ἀρχιερεῖ; ταλαίπωρον γὰρ αὐτὸν καλῶ, εἴπερ ἀδικούμενος

μὴ πάσχειν νομίζεται, ἀλλ' αὐτὸς ποιεῖν εἰς ἑτέρους τὴν ἀδικίαν ὑπολαμβάνεται· ἢ δῆλον ὅτι κατεγίνωσκεν ἑαυτοῦ ἀδικήσαντος μὲν τὰ πρότερα, ἀδικήσαντος δὲ καὶ τὰ δεύτερα ταῦτα· καὶ ἵνα μὴ καταφανὴς γένηται ᾔτησεν ὑποχωρῆσαι, ἔλαβεν ὡς ᾐτήσατο καὶ ὑπεχώρησεν· ὅτι δὲ ἐγκαλεῖσθαι καὶ οὐκ ἐγκαλεῖν ἄξιος, καὶ τὸ πρὸς αὐτὸν τοῦ μεγάλου λογαριαστοῦ παρίστησι γράμμα, ὅπερ ἔχων εἰς χεῖρας ἤδη καὶ διελθεῖν ἀξιώσας, οὐκ ἂν ἐρεῖς τὰ πάντα ψεύδεσθαι τὸν πρὸς σὲ τὸν Ἀμινσέλην δοῦκαν πάντα ψεύσασθαι λέγοντα.

ροε') Τῷ αὐτῷ

Ἔοικεν ὁ θαυμάσιος τοῦ φοσσάτου κριτὴς ὁ πανσέβαστος παλαιάν τινα πρὸς τὸν τροπαιοφόρον τρέφειν δυσμένειαν, ὥστε καὶ ὡς ἐξουσίας νῦν ἐπελάβετο, οἷα δὴ πολλὰ παρὰ τὸ εἰκὸς τῷ μακρῷ γίνεται χρόνῳ, τὸν οὐρανὸν ἄντικρυς ἀνάσσει τῇ κεφαλῇ, καί πως τὸ τηλικοῦτον ἀμύνεσθαι οὐκ ὀκνεῖ· διαπορήσει τις ἴσως πῶς ὅδε χοῦς ὢν παχύς τε καὶ γάστρων καὶ κατωβριθὴς ἀμύνεται τὸν οὐρανόν· ἀλλ' ἔγωγε τὴν πρᾶξιν ἐρῶν, λύσιν οἶμαι παρέξειν αὐτάρκη τῇ ἀπορίᾳ· ἔστιν ἡ τῶν Φρυγανῶν μονή, μονὴ διαφερόντως τοῦδε τοῦ μάρτυρος· ἔστι γε μὴν τοῦ αὐτοῦ καὶ ἡ τῶν Μεσαμπέλων λεγομένη· ἔστι δὲ τρίτη κἀκείνη, ἣν οἱ πρώτως τοὔνομα θέντες Τραχιναρίας καλέσαντες, καὶ ἡμῖν οὕτως ὀνομάζειν ἀφῆκαν· τῆς μὲν οὖν δευτέρας καὶ μέσης προὔστη ὁ ἀδελφός, καὶ ρύεταί γε ἀδελφὸς ὢν καὶ αἰδέσιμος τῷ κριτῇ· αἱ δέ που δύο καὶ τὸν κατὰ τῆς ἀδελφῆς παρὰ τοῦ κριτοῦ ἀνεδέξαντο χόλον· χθὲς μέντοι καὶ πρότριτα τῇ τῶν Φρυγανῶν ἐπιτεθειμένος, ἐκεῖνά γε αὐτήν, ἁπάντως σχεδὸν ἴσασι, δρᾷ, καὶ πάντες ἀντὶ τούτων καταρῶνται αὐτῷ· νῦν σφοδρὸς ἐπέσκηψε καὶ τῇ τρίτῃ· καὶ αὐτὴν ὡς τὴν πρώτην εἰς τὸ μηδὲν συνελάσαι πειρᾶται. Οὐ στήσεσθε κατὰ τοῦδε πάντες ὁμοῦ ὅσοι τὸν ἀθλητὴν ἐκείνου συμμαχίαν, ὡς Θεοῦ δὴ συμμαχίαν, ἐν πᾶσι πράγμασιν ἐπικέκλησθε; οὐ πείσετε τὸν ἄ-

φρονα μονομάχον ὡς ἔστι Θεὸς γνῶναι, ὁμοῦ δὲ γνῶναι καὶ ὅτι ζῶσιν οἱ μάρτυρες, καὶ οὐρανόθεν μετέρχονται τοὺς πηλίνους ἑαυτῶν καταφρονητάς; ὑπὲρ τοῦ δημοσίου τις ἴσως φαίη τάδε μονομαχεῖν καὶ μαίνεσθαι τὸν κριτήν· ὑπὲρ τοῦ δημοσίου εἰπέ μοι κατὰ τοῦ τοσούτου τῶν βασιλέων συμμάχου τε καὶ προμάχου, καὶ τῶν κοινῶν συν[ασπισ]τοῦ καὶ ὑπερασπιστοῦ ταῖς πρεσβείαις; Εἴθε δὴ τούτων ἕνεκεν ἡ πρᾶξις ὑπῆρχεν αὐτῷ· νυνὶ δὲ δέδοικα μὴ Πάτροκλος ταῦτα πρόφασις ᾖ· ὁ δὲ λωβώμενος τὰ κοινά, τὰ ἴδια παντὶ σθένει ὀνίνησι· καὶ ὡς οὐκ ἔξω λόγου εἰς τόνδε τὸν φόβον ἐλήλυθα, πάρεστιν οὐκ ἀμυδρὰν καὶ ἐξ ἑνὸς τοῦδε λαμβάνειν ἀπόδειξιν· ἀγρόν τινα κτᾶται περίπου ποταμὸν τὸν ὄφιν λεγόμενον, πότε μὲν καὶ ὅπως οὐκ οἶδα, ἀλλ' ἐκτήσατό γε καὶ τὴν ἀρχὴν ἐπέβη τοῦ τόπου, δράκων τις εὐθὺς ἔδοξεν ἀμήχανος τοῖς ἐκεῖσε κατά τι θεῖον μήνυμα ἐπιστῆναι ἀγρόταις· καὶ νῦν μὲν τῷ δ' ἐπιπίπτων, νῦν δὲ τῷδε, ἐκείνους μὲν ἄλλον ἀλλαχοῦ διεσκέδασεν, αὐτούς τε καὶ γυναῖκας καὶ τέκνα καὶ θρέμματα νέμεσθαι ἀφεὶς ἐν τῷ μηδενί· ἀρούρας δὲ τὰς ἐκείνων καὶ εἴτι γ' ἕτερον ἔτυχον ἀκίνητον ἔχοντες, μάλα ἀγαπητῶς πεποίηκεν ἑαυτοῦ· ὡς ἂν δὲ μή τινες δεῦρο πρὸς τὴν μόνην καταφυγήν, τὸν θεῖον δή φημι βασιλέα, ἰόντες βοῶσί τε καὶ τῆς τοῦ κριτοῦ ἀδικίας καταβοῶσι, γῆν δίδωσιν αὐτοῖς ἀντὶ γῆς, καὶ ἔστιν ἣν δίδωσι τῆς τῶν Τραχιναρίων μονῆς, ἧς Ἰωαννίκιος ἐξηγούμενος ὅδε ἄνω καὶ κάτω φοιτᾷ εἰς ἐπικουρίαν παρακαλῶν τοὺς τοῦ μάρτυρος ἐραστάς. Φιλόμαρτυς εἶ διαφερόντως αὐτὸς — οἶδα τοῦτο ἐγὼ — ἔχεις δὴ καὶ βασιλέα, — καὶ ἔχοις γε βασιλέων ἁπάντων νικητικώτατόν τε καὶ μακροβιώτατον, — τοὺς μαρτυρικοὺς ἄθλους ὡς οὐκ οἶδ' εἴ τις ἕτερος θαυμάζοντα καὶ τιμῶντα. Εἰπέ τινα λόγον, ἱκέτευσον ὑπὲρ τῶν μοναστηρίων, ἀντίπνευσον καὶ μικρόν τι τοῦ ζήλου, καὶ τῶν ἐμπύρων τοῦ δράκοντος Χειλᾶ φυσημάτων ὑπέρτερα βεβαίως ποιήσεις αὐτά. Εἴπω καὶ τὰ 'πὶ τούτοις κελεύεις; ἡμᾶς τε δείξεις οὐ μικρόν τι παρὰ βασιλεῖ ὑπὲρ τῶν δικαίων πρὸς βασιλέα λέγοντας δυναμένους· εἰ δ' ἧττονος τοῦτο λόγου, καί τοι καὶ βα-

σιλέως τοῦτ᾽ ἔπαινος, οὐχ ἡμέτερος, ἀλλὰ πᾶσιν ἀνθρώποις ἀπολογήσῃ· τῷ γὰρ δὴ Θεῷ ἀπολελόγησαι πάλαι, ὡς ταῦτά τε καὶ τὰ τοιαῦτα οὔτε βασιλεὺς ὁ δικαιότατος καὶ φιλανθρωπότατος βούλεταί καὶ προστάσσει, οὔτε τις οὐδεὶς εἰσηγεῖται, ἀλλ᾽ ἔστι μόνης τῆς μοχθηρᾶς ἐκείνου ψυχῆς ἔργα καθαρῶς καὶ γεννήματα βουλομένης ἀεί τι κακὸν ἐκφέρειν ἐν βίῳ, ἐπειδὴ καλὸν ποιεῖν οὐ μεμάθηκεν.

ρϛ´) *Τῷ Χειλᾶ*[1].

Πανσέβαστε· ἄνθρωπος εἶ, καὶ ἀνθρώπου πατρὸς υἱός· γνῶθι τοίνυν σαυτόν, καὶ μὴ φρόνει μείζων τῆς φύσεως· μικρᾶς καὶ κατεψευσμένης εὐημερίας τυχὼν οὐχ οἷός τ᾽ εἶ κατέχειν σαυτόν, πρὸς δ᾽ αὖ τὸν Θεὸν ἄντικρυς μάχην ἀπὸ γῆς αἴρεις· τίς ἂν γένοιο, εἰ μείζονός ποτε καὶ ἀληθεστέρας τετυχηκέναι συγχωρηθείης· «φράζεο Τυδείδη φησὶ τὸ ἔπος καὶ χάζεο»· καὶ αὖ «μὴ ἔθελε βροτὸς ἐὼν Θεῷ μάχεσθαι», τοῦ αὐτοῦ ποιητοῦ λόγος. Φράζεο δὴ καὶ σὺ καὶ σαυτὸν ἔπεχε· τόν τε πρὸς τὴν ἐκκλησίαν ὀψέποτε κατάλυε πόλεμον· οὐδέν σοι κοινὸν καὶ αὐτῇ· δίκαζε κοσμικοῖς· δίκαζε φορολόγοις τε καὶ τελώναις καὶ ὅσοι τῆς ἀγορᾶς καὶ τοῦ δήμου· τοῦ κλήρου δὲ πάμπαν ἀπόσχου· καὶ τῇ ἐχούσῃ αὐτόν, διαιτᾶν αὐτῷ παραχώρει· οὐ γὰρ δή σοι καὶ ἐπ᾽ αὐτὴν ἔξεστιν ἐκτείνειν τὴν ἐξουσίαν. Εἰ δὲ βιάζεις τὰ μὴ προσήκοντα, συνεσίους ἂν εἴποιμι τρέφειν τὴν Ἐκκλησίαν, γελάσεις, οἶμαι, τὸν λόγον ὡς ὑπερβολὴν ἔχοντα· ἀλλὰ τρέφει γε, ὦ οὗτος, συνετοὺς λογίους καὶ μάλα πολλούς· τούτους δέδιθι, καὶ λῆγε τὴν πρὸς τὴν μητέρα σφῶν φιλαπεχθημοσύνης· λῆγε ἔριδος καὶ θρασύτητος, ἐπειδήπερ ἀπειλοῦσι, καὶ ἐπισχήσει τις αὐτοὺς οὐδεὶς μὴ πράξειν ὡς ἀπειλοῦσιν, οὐ, κἂν σφόδρα τις σεβαστὸς ᾖ, κἀπὶ σοφίᾳ φρόνημα μεῖζον ἢ καθ᾽ Ἡράκλειτον ἔχῃ, τὸ μὲν Βερονικέως ὄνομα μέχρι σοῦ θρυλλούμενον τέως, σιγῇ τοῦ λοιποῦ δοῦναι, τὸ σὸν δ᾽ ἀντ᾽ ἐκείνου διαβόητον κατα-

[1]) Τινὶ τῶν γνωρίμων Α.

στῆσαι ἀνθρώποις· ἢ σχέτλιον ἂν εἴη καὶ πέρα σχετλίου, εἰ σὺ μὲν οἴει πάντα σοι προσήκειν ὅσα δεινὰ λέγειν τε καὶ δρᾶν ἐπ' αὐτοῖς, αὐτοῖς δὲ μηδὲ τοσοῦτον τολμᾶν ἐξεῖναι, ὥσθ' ἃ πεπόνθασιν ἐκτραγωδοῦντας, χρόνῳ τῷ μετέπειτα δοῦναι διήγημα.

ροζ') Τῷ αὐτῷ μεγάλῳ Λογοθέτῃ

Τετρὰς ἦν ἡ τῆς ἐνεστώσης ἑβδομάδος, καὶ τὸ πρὸς ἑσπέραν ἐντυχών σου τῇ τελειότητι, τὴν ἀπευκτὴν ὡς οὐκ ὤφελον περὶ τῶν ἑαλωκότων φρουρίων ἠνώτισμαι ἀγγελίαν. Ἡμέρα τὸ ἀπ' ἐκείνου εἰς τὴν παροῦσαν τετάρτη, καὶ λύπη τις ἡμᾶς ἔχει βαρεῖα διὰ παντὸς σκυθρωπάζειν ποιοῦσα. Γνώρισον ἡμῖν, εἴτι τῶν χρηστοτέρων χρόνῳ τῷ μεταξὺ πυθέσθαι σε δέδωκεν ὁ Θεός· καὶ θέλε κοινωνοὺς ὥσπερ τῶν δυσχερεστέρων οὕτω δὴ καὶ τῶν ἀμεινόνων ἔχειν· γνωρίσαις δέ, σὺ δὲ σῶτερ Χριστὲ οὕτω δὸς γνωρίσαι, οἷον ἂν μὴ μόνον τὴν παροῦσαν ἡμῖν ἀθυμίαν, ἀλλὰ καὶ πᾶσαν λῦσαι καὶ εἰς τοὐναντίον περιστῆσαι· θάτερον δὲ ἢ σὲ παρά του πυθέσθαι ἢ ἡμᾶς παρὰ σοῦ, ἀπείη καὶ τοῦ λόγου.

ροη') Τῷ Ἐφέσου [Ἰωάννῃ τῷ Χειλᾷ]

Δεδήλωταί σου τῇ ἱερότητι δεῦρο παραγενέσθαι, καὶ ἐξ οὗπερ δεδήλωται μῆνες εἰσί που τρεῖς· τάχα δὲ καὶ πλείους ἢ τρεῖς· καὶ αὐτή γε οὐ μόνον ἡμῖν οὐκ ἐπέστη, ἀλλ' οὐδ' ἔτι ἐπιστήσεται ἢ μὴ ἀντιδηλῶσαι ἠξίωσε. Τούτου τὸ αἴτιον ἄλλοι μὲν εἰκαζόντων τε καὶ λεγόντων ὅ,τι καὶ βούλεται ἕκαστος, ἐγὼ δ' οὐχ ἕτερον εἶναι ὑπείληφα ἢ ὅτι λέληθέ σου τὴν ἱερότητα ὅσος ἡμῖν τε κλύδων καὶ τῇ Ἐκκλησίᾳ πρόσφατον ἐπανέστη, ἐπεὶ πτερὰ ἂν οἶμαι ᾔτησας ὥστε θᾶττον ὧδε φανῆναι καὶ βοηθῆσαι κινδυνευούσῃ αὐτῇ· κατέπεισας δ' ἂν καὶ τοὺς ἄλλους προστάτας τῶν Ἐκκλησιῶν ἀφορῶντας πρὸς σέ, τὸ τάχος μιμεῖσθαί σου. Ἀνέστησαν ἐξ ἡμῶν ἄνδρες λαλοῦντες διεστραμμένα,

καὶ ὁ πόλεμος νῦν τῷ τῆς εὐσεβείας λόγῳ οὐκ ἐκ τῶν τοῦ Βέκκου ἔργων τε καὶ λόγων καὶ τῶν συνισταμένων ἐκείνοις καὶ συμμαχούντων· ἔχει γὰρ ἤδη καλῶς ὁ βραχὺς τῆς εὐσεβείας τόμος, ὥσπερ φλὸξ ὕλην βαθεῖάν τε καὶ μεγάλην πάντ' ἀναλώσας ἐκεῖνα· τῶν δὲ δοκούντων μὲν ἐκείνοις ἀντικαθίστασθαι, εἰς τοὐναντίον δὲ βάραθρον ἐξ ἀνεπιστημοσύνης ἀνθελκόντων τὸ δόγμα. Πρώην μὲν γάρ, οὐ πάνυ δὲ πρώην, ὁ μηδὲν ὑγιὲς μήτε διανοούμενος μήτε λέγων Ἐσκαμματισμένος πολὺς ἦν γλωσσαλγῶν, τά τε μανιώδη αὐτοῦ καὶ βακχικὰ καὶ παράφορα φθεγγόμενος, καὶ τὴν Ἐκκλησίαν καὶ ἡμᾶς συνταράσσων· νῦν δ' ἕτερός ἐστιν ἐκείνου καὶ οὐδὲν ἧττον ἐκείνου κακός, ὁ ἄγροικος καὶ κοῦφος καὶ εὐήθης Μοσχά[μ]παρ, βαρβάρους τινὰς βλασφημίας καὶ νηπιώδεις ἐξηγήσεις εἰσφέρων τῇ θεολογίᾳ, τό τε καθαρὸν τῶν ἱερῶν δογμάτων νάμα διὰ τούτων συνθολῶν, τούς τε περὶ ταῦτα ἐνιδρώσαντας θείους Πατέρας μάτην πεπονηκότας ἀποδεικνύς. Ἐγὼ μὲν οὖν πρὸς τὸν νηπιόφρονα τουτονὶ γέροντα, ἐπειδήπερ ξυνίησιν οὐδὲν οὐδαμῶς καὶ ἀλόγως φιλονεικεῖ, ἀνενέργητος ἔχω διατελῶ· οὐ γὰρ ἔστιν ὅπως εἴσω χειρῶν, εἰ δὲ βούλει λόγων τῶν ἐμῶν γένοιτο· οὐδέ γε μὴν καὶ γενόμενος καιρίαν λόγου βουλὴν ὑποσταίη· ἀπαγὴς ὢν τὸν νοῦν καὶ ἀστήρικτος, καὶ στέγειν οὐδ' ὁτιοῦν πεφυκώς· ὁ δὲ χαλκεῖς καὶ κναφεῖς καὶ ῥάπτας καὶ σκυτεῖς καὶ ὅσοι τοῦ χειρονακτικοῦ βίου μετερχόμενος ἀνύσιμός ἐστι παρ' αὐτοῖς, καὶ ὅ,τι καὶ βούλεται δρᾷ· τοῦ ὁμοίου τῷ ὁμοίῳ προστρέχοντος. Λυπηρὸν ἐμοὶ τοῦτο, πῶς γὰρ οὔ; παρρησίᾳ οὕτω μεγάλων βλασφημιῶν λεγομένων κατὰ τῆς Ἐκκλησίας, οὐ τὸ τῶν αἱρέσεων πῦρ φυγούσης, ἐν καιρῷ καὶ ταῦτα τῆς περὶ αὐτὴν ἐπισκοπῆς τοῦ Θεοῦ, ἀλλ' εἰς πῦρ ἐκ πυρὸς ἐμπίπτειν κινδυνευούσης. Τὸ δὲ τούτου πολλῷ σχετλιώτερον ὅτι καὶ τῶν ἁδρῶν τινες καὶ οὓς οὐδέποτ' ἂν ἠλπίσαμεν, ὀπίσω τῆς φθορᾶς ταύτης πορεύονται· τίνι μὲν ἑλκόμενοι πράγματι ἐγὼ μὲν οὐκ ἐρῶ, τοὔνειδος τῶν δε καὶ τὴν αἰσχύνην συγκαλύπτειν αἱρούμενος· ἄλλος δ' ἴσως μηδὲν εὐλαβούμενος, ἀμαθίᾳ γε φαίη ταῦτα

πάσχειν αὐτοὺς καὶ ἀφελείᾳ καὶ τὸ παντάπασιν ἀμυήτους εἶναι τῶν λογίων τοῦ πνεύματος. Ἀτὰρ τίς ὁ ἐμὸς ἐπὶ τούτοις λόγος; δεῦρο ὑμᾶς σπεῦσαι ἐπὶ συστάσει τῆς χριστιανῶν ἀκραιφνοῦς πίστεως· καὶ σπεύσατε δὴ μηδὲν προθυμίας ἀνέντες. εἰ δὲ μή, ἀλλ' οὐκ ἐς μακρὰν ὄψεσθε τὴν Ἐκκλησίαν εἰς μείζονα τάραχον τοῦ προτέρου καὶ κίνδυνον ἐμπεσοῦσαν. Ἐρεῖς μοι μηδέποθ' οὕτω γενέσθαι συγχωροίη Θεός· χρὴ καὶ ἡμᾶς κινεῖσθαι ὡς ὁποσοῦν ἵνα μὴ τὰ πράγματα διαφεύγῃ ἡμᾶς καὶ τέλος οὐδὲν ᾖ τῆς εὐχῆς! Οὕτω πράττειν φημί· ἐπεὶ πῶς ἄν τις καὶ μυρία καρτερικὸς ὢν μόνος ἐν τῷ κοινῷ πολέμῳ μένειν ἀνάσχοιτο, τῶν ἄλλων πάντων μόνον τῶν καθ' ἑαυτοὺς φροντιζόντων; Εἰ μὲν οὖν τις ἕτερος ταῦθ' ὁρῶν ἀγαπώῃ μένειν τὴν μέσην ἔχων τάξιν, λέγειν οὐκ ἔχω· ἐγὼ δὲ περὶ ἐμαυτοῦ φημι, ὡς ἐπειδὴ τοσαύτην ἐγκατάλειψιν περὶ ἡμᾶς οὐκ ἂν εἴην δυνατὸς βλέπειν Θεόν, οὔτ' ἀνέξομαι, καὶ πορρωτάτω γενήσομαι Θεῷ τε πολλὰ ἤδη καὶ πολλάκις καὶ ἀνθρώποις ἀπολελογημένοις· καί γε τὴν λαχοῦσαν τάξιν τε καὶ στάσιν καταλείψω οὔ τοι ἑκών· καί γε τοῖς τε μονιοῖς ἀφήσω καὶ τοῖς ἄλλοις θηρίοις τὸ ἑαυτῶν ἐν τῷ θείῳ ἀμπελῶνι ἐργάζεσθαι· ἀφήσω γάρ, ἐπειδὴ καὶ τοῦτο τοὺς πολλοὺς ἀγαπῶντας κατανοῶ.

ροθ΄) Τῷ αὐτῷ

Ἔπρεπε πάντως σε, θεσπέσιε δέσποτα, καὶ μόνον ἅπαξ δεξάμενον ἅπερ εἰς Κωνσταντινούπολιν ἀπαντᾶν ἐκάλει ἡμέτερα γράμματα, τί δ' ἅπαξ λέγω δεξάμενον, ἔδει δὴ μὴ δεξάμενον τὴν ἀρχὴν οἴκοθεν κινηθῆναι καὶ ἐπιστῆναι τῆς κανονικῆς ὡς εἰκὸς μνημονεύοντα προσταγῆς· νυνὶ δέ σου δεξαμένου, καὶ πολλάκις γε δεξαμένου, τοσοῦτον οὐδὲν γέγονε πρὸς σκοποῦ, ὥστ' εἰμὴ καὶ σύ γ' ~~ἑτέρωθεν~~ ἐπιστέλλων συνομολόγεις, καὶ γράφειν ἡμᾶς σοὶ καὶ καλεῖν ὡς ἡμᾶς, κἂν ἐκστάσεως αἰτίας ἐμαυτῷ προσῆπτον, ὡς πάντα μᾶλλον πρὸς σὲ ἢ

περὶ τοῦ δεῦρο σπεύδειν ἐπεσταλκότι τοσοῦτον ἡμῖν πόρρω προσδοκίας ἔδοξας διαμέλλειν· τὸν δὲ δὴ τεθνηκέναι τὸν ἀδελφόν τε καὶ φίλον τίς οὐκ οἶδε τοῦτό σοι σφόδρα γεγονὸς λυπηρόν; ἥψατο κἀμοῦ τῆς καρδίας μέσης τὸ πάθος· οὐ μὴν δ' ἐχρῆν πρόφασιν τόδε τιθέναι ἀναβολῆς, καὶ σὲ σαυτὸν διὰ τοῦτο ἔργων τῶν ἀναγκαίων ἀφιστᾶν (διὰ τοῦτο) ἐς τοσοῦτον· εἴπερ τοὺς ζῶντας ἡμᾶς μόνη δικαίως ἂν τῶν ζώντων ἔτι καὶ περιόντων ἔχοι φροντίς, οἷς καὶ βοηθεῖν ἴσως ἔνι καὶ ἐπαμύνειν, οὐ τῶν μετηλλαχόντων τὸν βίον καὶ ἐξ ἡμῶν γεγονότων, οἷς ὁμοῦ τὴν ζωὴν καταλῦσαι ὑπῆρξε, καὶ πᾶσαν ἡμῶν τὴν περὶ αὐτοὺς πρᾶξιν συγκαταλῦσαι, πλὴν τῆς ἀπὸ τῶν εὐχῶν· πράγματος οὕτω ῥάστου ὡς ἐν παντὶ καιρῷ τε καὶ τόπῳ οἷά τ' εἶναι οἷς ὀφείλεται ἀποδίδοσθαι. Ἀλλὰ καὶ χειμὼν ὁ δριμύτατος ὁ τοὺς ἀσιανοὺς ἡμᾶς παρὰ τὸ πεφυκὸς εὑρηκώς, ψυχροτάτη νενόμισται παρευρῆσθαι αἰτία τοῖς οὕτω διὰ τῆς Ἀσίας εἰς Ἑλλήσποντον ἰέναι παρασκευάζεσθαι δυναμένοις, ὡς ἂν ὁ τῆς Ἐφεσίων σὺ καὶ πάσης σχεδὸν τῆς Ἀσίας παρασκευάζοι ὁ πρόεδρος. Τί μοι τὰ πολλὰ γράφειν; μὴν Ἀπρίλιος ἦν, ὅτε πρώτως ἐπεβάλομεν γράφειν καὶ καλεῖν ὡς ἡμᾶς, ἔδει τετάρτῳ τῷ ἐξ ἐκείνου μηνὶ ἢ ἕκτῳ, ἔδει ἐνάτῳ ἢ δεκάτῳ γε ἀπαντῆσαι· ἔδει τὸν γοῦν Φιλαδελφίας πρόεδρον δεῦρο διψῶντα ἰέναι, ἰέναι ἀφεῖναι· ὅτι δὲ μὴ οὕτω γέγονεν ἀθρόως ἡμῖν καὶ τὰ πράγματα ἀπ' ἐλπίδος γέγονε. Καὶ οἷα γέγονεν ἄλλοι μηνύσουσιν· οἶμαί γε μαθόντας ὑμᾶς, οὐκ ἂν ἐθέλειν ἔτι ἀναβάλλεσθαι, τὰ καὶ τὰ σκηπτομένους· εἰ δὲ καὶ οὕτω προφάσεις αὖθις ἀναβολῶν παρ' ὑμῖν, οἴχεται βεβαίως ἡμῖν τὰ χριστιανῶν ὡς δεῖ χριστιανῶν πράγματα· καὶ ὑμεῖς εἴσεσθε· ἐγὼ γὰρ ἄνθρωπος ὢν καὶ πᾶσι τοῖς ἐμαυτοῦ πρὸς τὸν ἐν χερσὶν ἀγῶνα χρησάμενος, ἐπειδήπερ εἰς τέλος ἀντέχειν οὐχ οἷός τε γέγονα, πρὸς ἐμαυτὸν συστραφεὶς ἠρεμῶ· τοὺς μὲν ἐχθροὺς τῶν ψυχῶν καὶ ἄκων ἀφεὶς χρήσασθαι τῇ ἰσχύϊ, ὑμᾶς δὲ περὶ τῶν προκειμένων λόγους ἀποδοῦναι Θεῷ.

ρπ') Τῷ μεγάλῳ Λογοθέτῃ

Χαλεπόν φησιν ἡ παροιμία κύων μαθοῦσα σκυτοτραγεῖν· οὐ μήν γε ὅσον ὁ ἀκειρεκόμης Φραγγόπουλος ἐρώτων μανίαις ἁλούς· ἐπείρα μὲν οὖν τινα παρθένον κατὰ τὸ παριὸν ἔτος, καὶ ὧν πεπείραται διὰ τοῦτο μνημονεύουσι πάντες, ὅσοι τὸ μέγα τόδε καὶ εὔδαιμον οἰκοῦσιν ἄστυ, πλὴν ὀλίγων καὶ τοῦ πεπονθότος αὐτοῦ· καὶ δὴ ταπεινὸς καὶ σωφρονικὸς ἦν, ἕως οὗ κεκολασμένην ἐπὶ τῆς κεφαλῆς εἶχε τὴν τρίχα· κατεκρίθη γὰρ μετὰ τῶν ἄλλων καὶ ταύτην ὑποστῆναι τὴν τιμωρίαν καὶ ὑπέστη. Ἐπεὶ δὲ χρόνος ἐτρίβη καὶ αὕτη ἐπὶ τὰ πρότερα μέτρα πολλὴ γέγονε καὶ μεγάλη, κάτω ἐπὶ τὰ νῶτα ἰοῦσα διωσάμενος τῆς μνήμης ἐκεῖνα, αὖθίς ἐστιν ἐν τοῖς αὐτοῖς, καὶ αὖθις ἀκρατεύεται καὶ πειρᾷ· καὶ τὸ μανιωδέστατον, οὐκ ἄλλην ἢ ἐκείνην, ἧς ἕνεκα καὶ πρότερον πέπονθεν. Ἔξεστι μὲν οὖν κατὰ τοῦτο[1] καὶ ἡμᾶς αἰτιᾶσθαι, οὓς πρὸ μικροῦ τρέμων ὁ Φραγγόπουλος, νῦν οὐδὲ οἴεται τῶν ἐν γραφαῖς πατριαρχῶν διαφέρειν· ἔξεστι δ' ἴσως καὶ τὴν κόμην αὐτὴν τιττὰς ὡς εἰκάζοντά τινα φάναι καὶ θαυμασίας ἔχουσαν τὰς δυνάμεις· τὴν μὲν ἔρωτας ἀνεγείρειν, τὴν δὲ παθῶν ποιεῖν ἐπιλήσμονας. Ἐν τούτοις μὲν οὖν οὐκ ἔστιν εἰπεῖν ὡς ἔστι πλάσμα τοῖς ῥήμασι· καὶ πίστις τοῦ μὴ εἶναι, ἕτοιμος αἰτοῦντι παρασχεῖν ὁ τὴν παροῦσαν κομίζων ἐπιστολήν, ἀπαίτει καὶ λάμβανε· καὶ θέα, ὡς οὐ πονηρίας τιμωρία, εὐεργεσίαι δὲ μᾶλλον ἐκεῖνα, καὶ ὡσπερεὶ ἀρετῆς ἐνομίσθησαν γέρα· ποῖα δὴ λέγω ἐκεῖνα; περίοδοι, μάστιγες, ἀποκάρσεις, ἐκβοήσεις, καὶ τἆλλα ὅσα τηνικαῦτα πραχθέντα,[2] αἰσχύνην δικαίαν καὶ ἄλγος ἐδόκει φέρειν τῷ πάσχοντι· ἐπεὶ πῶς τὸν αὐτὸν καὶ αὖθις οὐκ ἀναδύεται τρέχειν ἀγῶνα;

ρπα') Τῷ αὐτῷ

~~Διονύσιος~~ οὑτοσὶ Ἀρκάς ἐστιν ἐκ Πελοποννήσου, ἡμέτερος

[1]) Κατὰ τούτων Α.
[2]) Καὶ ὅσ' ἄλλα τηνικαῦτα προσαχθέντα Α.

δὲ καὶ τῶν πάνυ, συνοικεῖ τε γὰρ ἡμῖν ἀεὶ καὶ τὰ ἔνδον ἀόκνως ὑπηρετεῖ, ὁμοῦ δὲ καὶ συλλήπτωρ τῶν νυκτερινῶν εὑρίσκεται προσευχῶν. Τούτῳ Δυονυσίῳ δύο γεγόνασιν ἀδελφοί, εἰσί τε εἰς δεῦρο τὴν πατρίδα οἰκοῦντες, οὓς καὶ ἀγαπᾷ οὐδὲν ἧττον καὶ αὐτοὺς ἀγαπῶντας, τοὺς μὲν νόθους ἰδεῖν διαπεφευγότας δεσπότας, τῆς δὲ Ῥωμαίων πολιτείας καὶ ἐλευθερίας μεταλαχεῖν. Ὑπὲρ τούτου ἱκέτευσεν οὗτος ἡμᾶς, ἱκέτευσαν δὲ διὰ τοῦδε κἀκεῖνοι· τί δ' ἱκέτευσαν; ἀτέλειαν αὐτοῖς τῶν πατρώων καὶ ὧν εἰς τὴν παροῦσαν ἡμέραν ἐν Ἀρκαδίᾳ κυριεύουσιν, ὑφ' ἡμῖν μεσίταις βασιλέα δωρήσασθαι καὶ κυρῶσαι· ὡς νῦν μὲν ἐν ἐλπίσιν ἔχειν ἀπολαύειν τῆς δωρεᾶς ταυτησί, ἔργῳ δὲ τηνικαῦτα ἀπολαύσειν ἡνίκα καὶ Θεοῦ νεύσαντος ἡ πατρίς, εἴη δὲ τάχιον τοῦτο, εἴη δ' ὁμοῦ καὶ σύμπασα ἡ λοιπὴ Πελοπόννησος ὑποχείριος γένηται βασιλεῖ. Ταύτην ἐδεξάμην τὴν ἱκεσίαν ἐγώ, ἐδέξατο καὶ βασιλεὺς δι' ἐμοῦ, καὶ προστάσσει δή, σοὶ δὲ προστάσσει—εἰ μή σου τοῦτο τὴν μνήμην ὑπὸ πολλῶν ἐνοχλουμένου καὶ ἑλκομένου παρέδραμε—περάναι τὴν αἴτησιν· οὐκ ἐκρίναμεν δεῖν αὐτίκα τό τε ἐπείγειν μόνον οὐκ ἐν χεροῖν τὸ αἰτούμενον ἔχειν δοκοῦντες διὰ τὸ τῆς λήψεως πρόχειρον, σέ τε ὑπὸ μυρίας ἄλλης ὁρῶντες ἐχόμενον ἀσχολίας, καὶ οὐδὲ τοῦ ἐς Πελοπόννησον πλοὸς ἄλλως ὄντος ἑτοίμου· ἀλλὰ νῦν ἥκει καιρὸς ἐκεῖσε πλέειν ἐνθάδε τινάς· νῦν καὶ ἡμεῖς αἰτοῦμεν ἀσφαλῶς τοὺς εἰρημένους τὸν ἔλεον δέχεσθαι. Παρακλήθητι καὶ δός, τό γε εἰς σὲ ἧκον, ἵνα δεξάμενοι καὶ ἀγαθῆς διὰ τῶν προσταγμάτων ἀναπλησθέντες ἐλπίδος θᾶττον πρὸς ἡμᾶς μετασταῖεν· εἴησαν δὲ μεταστάντες, ἀπαρχὴ πρὸς Θεοῦ τῆς ἔτι καὶ νῦν τυραννουμένης Πελοποννήσου προδειχθέντες καὶ πεμφθέντες τῷ διὰ Θεοῦ βασιλεῖ.

ρπβ') Τῷ αὐτῷ

Ὁ θαυμαστὸς ἐπὶ τῶν δεήσεων, ὁ καλὸς κἀγαθὸς καὶ κοινὸς ἡμῶν ἑταῖρος ἀφεὶς τὰς τῶν ἄλλων δεήσεις ἀναφέρειν

βασιλεῖ, ὅπερ αὐτοῦ καὶ τὸ ἐκ βασιλέως ἀξίωμα βούλεται, ὃ δὲ ὑπὲρ ἑαυτοῦ μάλιστα δεῖται, πρὸς τῆς παντὸς ἑτέρου ὡς ἔοικε χρείας τῆς καθ' ἑαυτὸν αἰσθανόμενος, ταύτης δὴ χάριν γράφει τῇ τελειότητί σου, γράφει δὲ καὶ ἡμῖν, οὐχ' ἵν' ἡμεῖς βασιλέως, σοῦ δὲ μᾶλλον ὑπὲρ αὐτοῦ δεηθῶμεν· φιλεῖν ὁμολογῶ τὸν ἄνδρα, καὶ τοὐναντίον οὐδέποτε φαίην· καὶ γὰρ πᾶν αὐτῷ πάντοτε βούλομαι καὶ εὔχομαι ἀγαθόν· πλὴν πρὸς ἄλλον μέν τινα οὔσης αὐτῷ τῆς δεήσεως, οὐκ ἂν συνδεῖσθαι καὶ συνικετεύειν ἀνηναίμην· πρὸς σὲ δὲ πολὺ μᾶλλον ἢ ἐγὼ βούλομαι εὖ ποιεῖν αὐτὸν προθυμούμενον, πῶς οὐ περιττὰ ποιεῖν νομισθείην, εἰς ἱκεσίαν τὴν περὶ ἐκείνου βουληθεὶς ἐμαυτὸν καθιέναι; ὥστ' ἀφίημι τοῦ κατ' αὐτὸν πράγματος μόνῳ σοι μέλειν, ὃς οὐ μόνον αὐτῷ τὰ πρὸς σέ, ἀλλά που καὶ τὰ πρὸς ἕτερον ἡνίκα δεήσει ἀποχρήσεις οὐδὲν ἧττον ἢ αὐτὸς δύναμιν ἔχων ἀποχρήσειεν ἂν ἑαυτῷ. Καὶ σὺ μὲν οὕτω τὴν ἐπικουρίαν ἀνδρὶ παρέξεις τῷ ἱκέτῃ καὶ φίλῳ, ἐγὼ δ' αὐτῷ, καίπερ περιττὴν τὴν παροῦσαν τήν δε πρὸς ἡμᾶς ἐνστησαμένῳ ἀξίωσιν, ὅμως συγγινώσκω· οὐδὲ γὰρ δι' ἔλλειψιν φρενῶν τε καὶ ἐπιστήμης ἐπὶ τοῦτ' ἦλθεν, οὐδὲ δι' αὖ ἄγνοιαν τῆς ἀγαθῆς σου περὶ αὐτὸν προαιρέσεως, ὑπὸ δὲ τῆς τῶν ἀναγκαίων, ὡς οἶδας, εἰς τὸ ζῆν τελούντων ἐνδείας, ὑφ' ἧς καὶ πολὺ μᾶλλον ἢ τοὺς τὰ μεγάλα ὑπερχομένους φορτία σφάλλεσθαι συμβαίνει καὶ περιτρέπεσθαι ἄνθρωπον. Εἰ δὲ σύ γε καὶ αὐτὴν τὴν ἀξίωσιν, τὴν πρὸς ἡμᾶς δὴ λέγω, τὸ εὔλογον ἔχειν λέγεις ὥς τι ἀνύσιμον ἔχουσαν, ἄκαιρον δὲ καὶ ὄντως περιττὴν τὴν συγγνώμην, δέχομαί σου τὸν λόγον καὶ πείθομαι, καί γε συνεφάπτεσθαι δοκεῖν τῆς δεήσεως βούλομαι, καὶ δὴ συνεφάπτομαι.

ρπγ') Ὁ πατριάρχης τῷ πρωτοβεστιαρίῳ

~~Ἐμοὶ μὲν τουτὶ τὸ πόνημα πεποίηκεν οἷον ὁρᾷς~~ ἀφελὲς πάντη καὶ ταπεινὸν καὶ τὸ ἄνωθεν περὶ τὰ τοιαῦτα ἀδόκιμον· πολὺ δὲ πλέον καὶ τὸ πόρρω πάσης ἐμὲ γενέσθαι σχολῆς·

ὥστ' οὐδ' ἐπέβαλον αὐτῷ πράγματι νῦν, ὅτε μοι καὶ πᾶσα περὶ τοὺς λογισμοὺς ἀνωμαλία συνέπεσεν, εἰ μή τις ἀνάγκη κατήπειγε· κατὰ γὰρ τοῦ τόμου πολλῶν ἀνθρώπων κεκινημένων καὶ ὅ,τι ἔτυχεν εἰς μέμψιν λεγόντων, ἠνάγκασμαι καὶ ἄκων σχεδὸν κατὰ τῶν συκοφαντιῶν στῆναι, τό τε καλῶς ἔχον κρεῖττον δεῖξαι κατηγορίας, οὐ μὴν ἀλλὰ καὶ τὸ τῶν μαρτυριῶν πλῆθος τρίτον ἐμοὶ καὶ μέγα τῆς ἀφελείας αἴτιον γέγονε· πολλὰς γὰρ ταύτας καὶ ἀπαραποιήτους ἀξιοπιστίας ἕνεκα τῷ ὑποκειμένῳ ἐπενεγκὼν εἰκότως τὴν ταπείνωσιν ηὔξησα· ἀλλ' οὐδέν μοι πρᾶγμα μὴ ἔχοντος τούτου τὴν τῷ λόγῳ πρέπουσαν ἀρετήν, εἰ μόνον ἀληθείας ἔχεται καὶ ὀρθότητος, ἣν δὴ σκοπὸν καὶ μόνην πεποίηται· κἂν μὲν ταύτης τυγχάνῃ, τῷ Θεῷ χάρις, πρὸς αὐτὴν ἡμᾶς ὁδηγήσαντι· εἰ δὲ μή, σὺ φίλος ἡμῖν, σὺ καὶ ἀνθρώπων σοφώτατος, σὺ καὶ ἀνθ' ἡμῶν καὶ πατὴρ τῷ ἡμετέρῳ τῷδε γενοῦ, καὶ αὐτῷ τὸ ἄμωμον εἶναι παρὰ τοῖς ἀναγινώσκουσι χάρισαι, πάντως γὰρ δίκαιος εἶ· οὐ μόνον δὲ τῆς φιλίας χάριν, ἀλλ' ὅτι καὶ ὑπὲρ Ἐκκλησίας καὶ εὐσεβείας τὸ ποίημα.

ρπδ') *Τῷ αὐτῷ*

Τῷ παρόντι νεανίᾳ καὶ πένητι ὄντι καὶ ἡμετέρῳ πρόθυμος γέγονα βοηθεῖν, οὐχ ὅτι ἡμέτερος, ἀλλ' ὅτι πάσχων ἄδικα τὸ δίκαιον ἔχει μεθ' ἑαυτοῦ. Ἔστι μὲν τῶν πρὸς λόγους εὖ πεφυκότων, κεκώλυται δὲ ὅμως πολλὰ εἰδέναι καὶ τῶν ὁμιλήκων μεγάλαις διενηνοχέναι ὑπεροχαῖς, οἷς πενίᾳ συζήσας ὑπὸ χήρᾳ τρεφόμενος καὶ ἀπόρῳ μητρὶ οὐχ ὡς προσῆκε παιδείας ἥψατο καὶ μαθήματος. Οὗτος καὶ τὸν πολὺν Πεντεκκλησιώτην ἔσχηκε συγγενῆ, καὶ ἔδοξε μετὰ ὀρφανίαν ἐλεεινήν, μετὰ πενίαν ἀφόρητον καὶ τρίτον τοῦτο πλουτῆσαι κακόν· καὶ ὅπως ἔδοξε; κτημάτιον ἦν περί που Χαλκηδόνα πατρόθεν διαφέρον αὐτοῖς· τοῦτο βασιλεύς, οὐ τοῦτον, τὸν δὲ Πεντεκκλησιώτην ἐν αἰτίᾳ ποιησάμενος ἀφαιρεῖται· ὁ δὲ καίπερ ἀνεύθυνος ὤν, ἀλλ' ἔστεργεν ἀναγκαίως τῷ ὑπαιτίῳ συγκαταδικαζόμενος συγγενεῖ· ἔστεργε

μέντοι ἕως οὔπω τῆς βασιλέως ἐκεῖνος φιλανθρωπίας ἀπήλαυεν· ἐπεὶ δ' ἀπήλαυσε καὶ τοῦ χωρίου δεσπότης τὸ δεύτερον γέγονεν, ἀνίσταται καὶ οὗτος καὶ τὸ ἐπιβάλλον ἐκ δικαιοκρισίας αἰτεῖ· οὗ φησι παραχωρήσειν ἐκεῖνος δ' ὁπωσοῦν, ἐπειδήπερ αὐτῷ γε μόνῳ δέδωκε βασιλεύς· ἠρεμεῖν ἐθέλει, φησί, καὶ οὗτος, εἰ ἐκείνῳ γε μόνῳ δέδωκε βασιλεύς· πλὴν εἰ μὴ δέδωκεν ἄλλοις μὲν γένοιτ' ἂν ταῖς ἐμφανείαις τῶν δικαιούντων χαρτίων τὰ δίκαια· τούτῳ δὲ εἰ καὶ παράδοξός πως ὁ λόγος ὅτι μὴ ἐμφανίζειν ἔχοι, καὶ μάλα γενήσεται· καὶ γὰρ ἦν καὶ πολλά γε, ἤ φασιν, ἦν· ἀλλ' ὁ χρηστὸς συγγενὴς τέχνῃ ἀφείλετο, ἵν' ἴδιον αὐτῷ γένοιτο τὸ κοινόν· τότε δ' ἀφείλετο ὁπηνίκα τὰς πολλὰς ἡμεῖς ὑπὲρ αὐτοῦ ἐκινοῦμεν δεήσεις· τηνικαῦτα γὰρ ἐπειδὴ μὴ πρὸς γονέων ἤκουε τὸ κτῆμα καθήκειν αὐτῷ πρόσεισι τῇ τοῦδε μητρὶ ἀσφαλῶς ἐχούσῃ τοὺς χάρτας, αἰτεῖ δοθῆναι ἐπὶ μετουσίᾳ τῆς ἴσης· ἡ δὲ ὁρῶσα μὲν πρὸς τὰς ἐλπίδας, τὸν δόλον δὲ οὐ συνορῶσα προθύμως ὀρέγει τῷ προθυμοτέρῳ λαβεῖν· εἰλήφει τὸ ἀπ' ἐκείνου καὶ κρύφας ἔχει, καὶ τὸ πᾶν λοιπὸν ἔχει κτῆμα τὸν κατ' αὐτὸν καθάπαξ ἀπεληλακὼς κληρονόμον ἐλέησον τὸν πένητα τοῦτον, μὴ ὅτι καὶ ἡμεῖς ἱκετεύομεν, ἀλλ' ὅτι τοῦτο ποθεῖν δίκαιος· ἐλέησον δή, καὶ προστάγματι τοῦ θείου βασιλέως τὴν κατ' αὐτοῦ πλεονεξίαν σωφρόνισον· τοσούτῳ δυσωποῦμεν οὐ πολλὰ λέγοντες εἰς παράκλησιν, ἀρκοῦντος πρὸς ταύτην καὶ τῶν πολλῶν ἄτερ λόγων αὐτοῦ τοῦ πράγματος. Ἀλλὰ δυσωπήθητι, εἰσάκουσον, καὶ Θεὸν ἐκδέχου ἀντιμετρήσαντά σοι τούς τε ὑπὲρ τῶν ἄλλων καὶ τοὺς ἐπὶ τῷδε μισθούς*.

---

* Ἕπεται τὸ τέλος.